ἐλέφαντας εἰς Ῥώμην κατέπεμψεν. ὁ δὲ βωμὸς μαντεύεται κατ' ἐκεῖνον τὸν καιρόν, καθ' ὃν ἐνικήθη Πύρρος· ὥς ἱστορεῖ Κριτόλας ἐν τρίτῃ Ἠπειρωτικῶν (FHGr. IV 372).

**7 A.** *ΠΥΡΑΙΧΜΗΣ* βασιλεὺς Εὐβοέων ἐπολέμει Βοιωτοῖς. ὃν Ἡρακλῆς ἔτι νέος ὢν ἐνίκησε· πώλοις C δὲ προσδήσας καὶ εἰς δύο μέρη διελὼν τὸν Πυραίχμην ἄταφον ἔρριψεν. ὁ δὲ τόπος προσαγορεύεται 'πῶλοι Πυραίχμου', κεῖται δὲ παρὰ ποταμὸν Ἡράκλειον, χρεμετισμὸν δ' ἀναδίδωσι πινόντων ἵππων· ὥς . . . ἐν τρίτῳ περὶ Ποταμῶν.

**7 B.** *ΤΟΥΛΛΟΣ* Ὀστίλιος βασιλεὺς Ῥωμαίων ἐπολέμησεν Ἀλβανοῖς, βασιλέως ὄντος Μετίου Φουφετίου, καὶ τὴν μάχην πολλάκις ὑπερέθετο. οἱ δ' ⟨ὡς⟩ ἡττωμένου εἰς εὐωχίαν ἐτράπησαν· οἰνωμένοις δ' ἐπέθετο καὶ τὸν βασιλέα δύο πώλοις συζεύξας διεσπάραξεν· ὥς Ἀλέξαρχος ἐν τετάρτῃ Ἰταλικῶν (FHGr. IV 298).

**8 A a.** *ΦΙΛΙΠΠΟΣ* Μεθώνην καὶ Ὄλυνθον βουλόμενος πορθῆσαι καὶ βιαζόμενος ἐπὶ τῷ Σανδάνῳ ποταμῷ διαβῆναι πέραν ὑπό τινος τῶν Ὀλυνθίων Ἀστέρος ὀνόματι ἐτοξεύθη τὸν ὀφθαλμόν, εἰπόντος D

'Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος·'

ὁ δ' ὀπίσω διανηξάμενος πρὸς τοὺς οἰκείους σῴζεται ἀπολέσας τὸν ὀφθαλμόν· ὥς Καλλισθένης ἐν τρίτῳ Μακεδονικῶν (Scr. rer. Alex. M. ed. M. fr. 42).

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/384 UNIVERSITÄT LEIPZIG